λων παρόντων καὶ απόντων[27] μέμνησο. — Δεδοίκασιν αἱ μέλισσαι τὸν ὄμβρον, τοῦ δὲ κρύους ὀλιγωροῦσι. — Τοὺς κηφῆνας αἱ μέλισσαι τὸ μέλι ὑφαιροῦντας, τοῖς κέντροις ἀποκτείνουσιν. — Ἀγάπα τὸν πλησίον· νόμῳ[189] πείθου· θεοὺς σέβου· γονεῖς αἰδοῦ· ἄρχε σεαυτοῦ· πρόνοιαν τίμα· κακίας ἀπέχου· χρόνου[9] φείδου· ὅρα τὸ μέλλον· σοφοῖς χρῶ.— Λαβὼν ἀπόδος[185]· τὸ συμφέρον θήρω· ἐπὶ ῥώμῃ[190] μὴ καυχῶ· κακοῖς μὴ προσομίλει ἀνδράσιν, ἀλλ' ἀεὶ τῶν ἀγαθῶν ἔχου[191]. θεοὺς δείδιθι[192]· ἐπίορκον μὴ ἐπόμνυθι. — Τὸ μὲν σῶμα τεθνήξεται, ἡ δὲ ψυχὴ ἀναπτᾶσα, οἰχήσεται ἀθάνατος καὶ ἀγήρως.—Σωκράτης ἔλεγε, τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν[28] ἵνα ἐσθίοιεν[69], αὐτὸν δὲ ἐσθίειν ἵνα ζῴη.— Ὁ αὐτὸς ἠξίου τοὺς νέους συνεχῶς κατοπτρίζεσθαι[15], ἵν' εἰ μὲν καλοὶ εἶεν[69], ἄξιοι γίγνοιντο· εἰ δὲ αἰσχροί, παιδείᾳ[193] τὴν δυσειδίαν ἐπικαλύπτοιεν. — Σόλων[194] ἐρωτηθείς, πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἶπεν, εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις[195]. — Δεῖ ἡμᾶς πολιτεύεσθαι ὡς αὔριον ἀποθανουμένους, οὐχὶ δ' ὡς ἀεὶ βιωσομένους. — Αἰσχρῶς πράττων αἰσχύνου οὐκ αἰσχρῶς ἀκούων[196]. Τὸ μὲν γὰρ σοῦ τὸ δὲ τῶν ἄλλων κακίαν ἐλέγχει. — Εὐκλείδης[197] ὁ Σωκρατικὸς[198], ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος· ἀπολοίμην, εἰ μή σε τιμωρησαίμην[199], Ἐγὼ δέ, εἶπεν, εἰ μή σε φιλεῖν ἡμᾶς πείσαιμι[200]. — Εἴ τις τὸν τῆς εὐκλείας ἔρωτα ἐκβάλλοι[200] ἐκ τοῦ βίου, τί ἂν ἔτι ἀγαθὸν ἡμῖν γένοιτο[201], ἢ τίς ἄν τι λαμπρὸν ἐργάσεσθαι ἐπιθυμήσειε;—Τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικε. — Μάλιστα ἂν εὐδοκιμοίης[201], εἰ φαίνοιο[200] ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν[202] πράττουσιν[203] ἐπιτιμῴης. — Διογένης ἰδὼν τοξότην ἀφυᾶ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπὼν[204], Ἵνα μὴ πληγῶ. — Χίλων, εἷς τῶν ἑπτὰ σοφῶν, προσέταττε γλώττης κρατεῖν[188], μὴ κακολογεῖν[203] τοὺς πλησίον[205], γῆρας τιμᾷν, ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν, ἀτυχοῦντι[206] μὴ ἐπιγελᾷν, νόμοις πείθεσθαι. — Τὸν βουλόμενον ἀσφαλῶς ἄρχειν χρὴ τοῖς μὲν φίλοις μεταδιδόναι παρρησίας δικαίας, τοὺς δὲ ἀρχομένους κατὰ δύναμιν μὴ περιορᾷν ἀδικουμένους. — Σχολαστικὸς νοσοῦντα ἐπισκεπτόμενος, ἠρώτα περὶ τῆς ὑγιείας· ὁ δὲ οὐκ ἠδύνατο ἀποκριθῆναι. Ὀργισθεὶς οὖν, Ἐλπίζω, ἔφη, κἀμὲ[207] νοσήσειν, καὶ ἐλθόντι σοι[203], μὴ ἀποκρινεῖσθαι. — Οἱ ποιηταὶ τοιούτους λόγους περὶ τῶν θεῶν εἰρήκασιν, οὓς οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν τολμήσειε λέγειν. — Τῷ αὐτῷ φυσήματι τὸ μὲν πῦρ ἀνακαύσειας ἂν καὶ μεῖζον ποιήσειας ἐν

189) Κ. §. 346 β'. 190) Κ. §. 458, β'. 4 191) Ἔχομαι Λ. Σ. 192) Δείω Κ. §. 160, δεῖσαι. 193) Κ. §. 360, ά. 194) Ὁ Νομοθέτης τῶν Ἀθηνῶν. 195) Κ. §. 240 γ'. καὶ §. 446. 196) Αἰσχρολογούμενος, ὑβριζόμενος, 197) Φιλόσοφος ἐκ Μεγάρων. 198) Μαθητὴς τοῦ Σωκράτους. 199) Ἐκφράζουσιν εὐχήν, εἴθε νὰ χαθῶ. 200) Κ. §. 403, ά. 201) Κ. §. 404, γ'. 202) Ὁ Ἂν ἀποδίδεται εἰς τὸ ἐπιτιμῴης. 203) Κ. §. 346, ά. 204) Δηλ. κάθημαι ἐδῶ. 205) Τοὺς ἄλλους Λ. Σ. 206) Κ. §. 346, δ' σημ. 207) Καὶ ἐμέ, ἴδ. 12.